## II

ἤνδανεν ἀνθρώποις, ὁ δ' ἐπὶ πλέον ἤνδανε Μούσαις
Κράντωρ, καὶ γήρως ἤλυθεν οὔτι πρόσω.
Γῆ, σὺ δὲ τεθνειῶτα τὸν ἱερὸν ἄνδρ' ὑπεδέξω·
ἦ ῥ' ὅγε καὶ κεῖθι ζώει ἐν εὐθενίῃ.

## III

τὰν γνώμαν ἐδόκει Φιλέας οὐ δεύτερος ἄλλου
εἶμεν· ὁ δὲ φθονερὸς κλαιέτω ἔσκε θάνῃ.
ἀλλ' ἔμπας δόξας κενεὰ χάρις, εἰν Ἀίδᾳ γάρ
Μίνω Θερσίτας οὐδὲν ἀτιμότερος.

## IV

ναυτίλοι ὦ πλώοντες, ὁ Κυρηναῖος Ἀρίστων
πάντας ὑπὲρ ξενίου λίσσεται ὔμμε Διός
εἰπεῖν πατρὶ Μένωνι παρ' Ἰκαρίαις ὅτι πέτραις
κεῖται ἐν Αἰγαίῳ θυμὸν ἀφεὶς πελάγει.

## V

χείματος οἰνωθέντα τὸν Ἀνταγόρεω μέγαν οἶκον
ἐκ νυκτῶν ἔλαθεν πῦρ ὑπονειμάμενον,
ὀγδώκοντα δ' ἀριθμὸν ἐλεύθεροι ἄμμιγα δούλοις
τῆς ἐχθρῆς ταύτης πυρκαϊῆς ἔτυχον.
οὐδ' εἶχον διελεῖν προσκηδέες ὀστέα χωρίς,
ξυνὴ δ' ἦν κάλπις, ξυνὰ δὲ τὰ κτέρεα,